Cours de littérature grecque
Semestre d'automne 2024
**Histoire générale de la littérature grecque**
Lectures en marge du cours de littérature n° 3

**Stésichore fr. 222a *PMG*, vers 201-234 (utiliser l'édition Loeb *Greek Lyric*, vol. III, p. 136-139)**
Jocaste (?), Étéocle et Polynice.

ẹπ' ἄλγεσι μὴ χαλεπὰς ποίẹι μẹρίμνας
μηδέ μοι ἐξοπίσω
πρόφαινε ἐλπίδας βαρείας.
οὔτε γὰρ αἰὲν ὁμῶς
θεοὶ θέσαν ἀθάνατοι κατ' αἶαν ịρὰν
νεῖκος ἔμπεδον βροτοῖσιν
οὐδέ γα μὰν φιλότατ', ἐπὶ δ' ἁμẹρạι ẹ̀ν νόοṇ ἄḷḷọṇ
θẹọὶ τιθεῖσι.
μαντοσύνας δὲ τεὰς ἄναξ ẹ̀κάẹργọς Ἀπόλλων
μὴ πάσας τέλεσσαι.
αἰ δέ με παίδας ἰδέσθαι ὑπ' ἀḷḷάḷọιṣ<ι> δ̣αμẹ́ντας
μόρσιμόν ἐστιν, ἐπεκλώσαν δὲ Μọίρạ[ι],
αὐτίκα μοι θανάτου τέλος στυγẹρο[ῖο] γέṇ[οιτο]
πρίν ποκα ταῦτ' ἐσιδεῖν
ἄλγεσ<σ>ι πολύστονα δακ̣ρ̣υόεντạ,
παῖδας ἐνὶ μεγάροις
θανόντας ἢ πόλιν ἁλοίσαν.
ἀλλ' ἄγε, παίδẹς, ẹ̀μοῖς μύθοις, φίλα [τέκνα, πίθεσθε·]
τᾷδε γὰρ ὑμὶν ἐγὼν τέλος προφα[ίνω,]
τὸν μὲν ἔχοντα δόμους ναίειν πạ[ρὰ νάμασι Δίρκας,]
τὸν δ' ἀπίμεν κτεάνη
καὶ χρυσὸν ἔχοντα φίλου σύμπαντα [πατρός,]
κλαροπαληδ̣ὸν ὃς ἂν
πρᾶτος λάχηι ἕκατι Μοιρᾶν.
τοῦτο γὰρ ἂν δοκέω
λυτήριον ὔμμι κακοῦ γένοιτο πότμο[υ]
μάντιος φραδαῖσι θείου,
αἴ γ' ἐτεὸν Κρονίδας γένος τε καὶ ἄστυ [φυλάξει]
Κάδμου ἄνακτος,
ἀμβάλλων κακ̣ọ́τατα πολὺν χρόνον [ἃ βασιλείαι]
πέπρωται γενέ[θ]ḷạι.'
ὣς φάτ[ο] δ̣ῖạ γυνά, μύθ̣ọις ἀγ[α]ṇọῖς ἐνẹποίσạ,
νẹίκεος ἐν μεγάροις π̣[αυο]ịσα παῖδας,
σὺν δ' ἅμα Τειρ[ε]σ̣ịạς τ̣[ερασπό]ḷος, οἱ δ̣' [ἐ]π̣ịθ̣ọ[ντο.]